συνοικεσίων τε, πανηγύρεων, ζητειῶν καὶ λοιπῶν συνήθων τῷ τόπῳ· συντρέχειν τε καὶ βοηθεῖν αὐτῷ λόγῳ καὶ ἔργῳ καὶ κατ' οὐδὲν ἀντιφέρεσθαι ἀτάκτους· ἡ γὰρ πρὸς τὴν αὐτοῦ ἱερότητα τιμὴ καὶ εὐλάβεια πρὸς τὴν ἡμῶν ἀνάγεται μετριότητα, καὶ δι' αὐτῆς εἰς Θεόν, οὗ τὸν τύπον ἔσχηκεν ὁ ἀρχιερεὺς ἐπὶ γῆς. Ὃς δ' ἂν εὑρεθῇ παρὰ ταῦτα ποιῶν, καὶ κατά τι ἐναντιούμενος, ἢ τὴν γενομένην ἤδη ἕνωσιν τῆς ἐξαρχίας ταύτης πρὸς τὴν μητρόπολιν Ξάνθης διασεῖσαι τολμῶν καὶ ἀνατρέψαι οἱῳδήτινι τρόπῳ, ὁ τοιοῦτος, ὁποῖος ποτ' ἂν ᾖ, ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος. Ὅθεν εἰς ἔνδειξιν τῆς γενομένης ἤδη παρ' ἡμῶν συνοδικῶς τελείως ἑνώσεως τῆς ἐξαρχίας Καβάλας μετὰ τῆς ἁγιωτάτης μητροπόλεως Ξάνθης ἐγένετο καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα καὶ ἐπεδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Ξάνθης καὶ συναδελφῷ ἡμῶν κὺρ Κυρίλλῳ, αψκα', φεβρουαρίου κα' ἰνδικτιῶνος ΙΔ'.

† *Ἱερεμίας* ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης. Ὁ Κυζίκου Αὐξέντιος· ὁ Νικομηδείας Παρθένιος· ὁ Νικαίας Γαβριήλ· ὁ Χαλκηδόνος Παρθένιος· ὁ Ἀδριανουπόλεως Πανάρετος· ὁ Μπόανας Κύριλλος· ὁ Βάρνης Καλλίνικος· ὁ Μεσημβρίας Γρηγόριος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ